3. Τρίτον, ὅτι δεόντως εἰσὶ τρεῖς θεολογικαὶ ἀρεταί· πίστις, ἐλπίς, ἀγάπη, τοῦ Ἀποστόλου λέγοντος ἐν τρισκαιδεκάτῳ τῆς πρὸς Κορινθίους πρώτης· „Νῦν δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα“, καὶ εὐλόγως. Ἐπειδὴ γὰρ ὅ τε νοῦς ἢ ὁ λόγος καὶ ἡ θέλησις ἀσθενεῖ πρὸς τὴν τάξιν τῆς ὑπερφυοῦς μακαριότητος, κατὰ τὸ πρῶτον τῆς πρὸς Κορινθίους δευτέρας· „Ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν“, ἐδέησε πρὸς ἑκάτερον προστεθῆναί τι τῷ ἀνθρώπῳ ὑπερφυῶς ὥστε τάττειν αὐτὸν πρὸς τὸ ὑπερφυὲς τέλος. Καὶ ὅσον μὲν κατὰ τὸν νοῦν, προτίθενται ἀρχαί τινες ὑπερφυεῖς, ἃ καταλαβεῖν τῷ θείῳ φωτὶ δυνατόν· ταῦτα δέ εἰσι περὶ ὧν ἐστιν ἡ πίστις· δεύτερον δὲ ἡ θέλησις τάττεται πρὸς ἐκεῖνο τὸ τέλος κατά τε τὴν κίνησιν τοῦ σκοποῦ ἐπ' ἐκεῖνο φερομένη ὡς ἐπ' ἐκεῖνο οὗ δυνατὸν τυχεῖν, ὅπερ ἐστὶ τῆς ἐλπίδος, καὶ κατά τινα ἀσώματον ἕνωσιν, δι' ἧς τρόπον τινὰ μεταμορφούμεθα πρὸς ἐκεῖνο τὸ τέλος, ὃ γίνεται δι' ἀγάπης. Παντὸς γὰρ ἡ ἔφεσις φύσει κινεῖται καὶ φέρεται ἐπὶ τὸ τέλος τὸ συμφυὲς ἑαυτῷ· αὕτη δὲ ἡ κίνησις πρόεισιν ἔκ τινος ὁμοιότητος τοῦ πράγματος πρὸς τὸ τέλος.

4. Τέταρτον, ὅτι τῇ μὲν τάξει τῆς γενέσεως ἡ πίστις προηγεῖται τῆς ἐλπίδος καὶ τῆς ἀγάπης· τῇ δὲ τάξει τῆς τελειότητος ἡ ἀγάπη τῆς ἐλπίδος καὶ πίστεως προηγεῖται διὰ τὸ διὰ τῆς ἀγάπης ταύτας εἰδοποιεῖσθαι.

## LXIII. — Περὶ τῆς αἰτίας τῶν ἀρετῶν. f. 124v

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι οὐ παρὰ τῆς φύσεως ἐν ἡμῖν ἐστιν ἡ ἀρετή. Τὸ γὰρ περὶ τῆς φύσεως ἀγαθὸν κοινόν ἐστι πᾶσιν ἀνθρώποις, καὶ οὐκ ἀναιρεῖται διὰ τῆς ἁμαρτίας· καὶ τοῖς δαίμοσι γὰρ μένει τὰ φυσικὰ ἀγαθά, ὥς φησι Διονύσιος ἐν τετάρτῳ τοῦ περὶ θείων ὀνομάτων· ἡ δὲ ἀρετὴ οὔτ' ἔνεστι πᾶσι καὶ δι' ἁμαρτίας ἀναιρεῖται. Εἰδέναι δὲ δεῖ, ὅτι οἱ μὲν Πλατωνικοὶ προϋφεστάναι ἔλεγον ταύτας ἐπιστήμας καὶ ἀρετὰς ἐν τῇ ψυχῇ, διὰ δὲ τῆς παιδεύσεως καὶ τῆς γυμνασίας τὰ κωλύματα τῆς ἐπιστήμης καὶ τῆς ἀρετῆς μόνον ἀφαιρεῖσθαι, ἅπερ ἐπίασι τῇ ψυχῇ ἐκ τῆς τοῦ σώματος βαρύτητος, ὥσπερ ὅταν ὁ σίδηρος λαμπρύνηται καθαιρόμενος· Ἀβινσένας δὲ εἶπεν αὐτὰς παντελῶς ἔξωθεν εἶναι, τουτέστιν ἐκ τῆς ἐπιρροίας τῆς δρώσης νοήσεως· Ἀριστοτέλης δὲ ἐνεῖναι ταύτας τῇ ψυχῇ κατ' ἐπιτηδειότητα, οὐ κατὰ τελειότητα· ἡ μὲν γὰρ ἀρχὴ τούτων φύσει ἐστὶν ἐν ἡμῖν κατὰ μὲν τὴν φύσιν τοῦ εἴδους, ὅτι φύσει ἐν τῷ τοῦ ἀνθρώπου λόγῳ ἔνεισιν ἀρχαί τινες φύσει γνώριμοι τῶν τε θεωρητῶν καὶ τῶν πρακτῶν, ὥσπερ τινὰ σπέρματα τῶν νοερῶν ἀρετῶν καὶ τῶν ἠθικῶν· κατὰ δὲ τὴν τοῦ ἀτόμου φύσιν, καθόσον διὰ τὴν τοῦ σώματος

3 I Cor. 13, 13 6 I Cor. 2, 6 10 ἃ sic A pour ἃς



Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διάθεσιν τινὲς διάκεινται βέλτιον ἢ χεῖρον περί τινας ἀρετάς. Ἡ δὲ τελείωσις αὐτῶν οὐδαμῶς φύσει· ἡ μὲν γὰρ φύσις ἐφ' ἓν ὥρισται· ἡ δὲ τελείωσις τῶν ἀρετῶν διαφόρως ἐστὶ κατὰ τὰς διαφόρους ὕλας. Αἱ μέντοι θεολογικαὶ ἀρεταὶ καὶ παντάπασιν ἔξωθεν.

2. Δεύτερον, ὅτι αἱ ἀρεταὶ ἐν ἡμῖν ἔχουσιν αἴτιον τὴν τῶν ἔργων συνήθειαν· κατὰ γὰρ τὸν Διονύσιον, τὸ ἀγαθὸν τοῦ κακοῦ ἰσχυρότερον· ἐκ δὲ τῶν πονηρῶν ἐνεργειῶν ἐγγίνονται αἱ τῶν ἁμαρτιῶν ἕξεις.

3. Τρίτον, ὅτι καὶ παρὰ τὰς θεολογικὰς ἀρετὰς ἐγγίνονται τοῖς ἀνθρώποις ἐκ Θεοῦ ἀρεταί τινες, ὡς ἐν τῷ ὀγδόῳ τῆς Σοφίας λέγεται· „Σωφροσύνην καὶ δικαιοσύνην διδάσκει, καὶ φρόνησιν καὶ ἀρετήν".

4. Τέταρτον, ὅτι αἱ θεόθεν ἐγγινόμεναι ἀρεταὶ ἑτέρου εἴδους εἰσὶ τῶν πεπορισμένων ἡμῖν· τῇ γὰρ πεπορισμένῃ οὐκ ἐφαρμόζει τὸ κείμενον ἐν τῷ ὁρισμῷ τῆς θεόθεν ἐγγινομένης, τό, „ἣν ὁ Θεὸς ἐν ἡμῖν ἄνευ ἡμῶν ἐνεργεῖ"· διαφέρουσί τε οὐ μόνον τῇ πρὸς τὸ ἔσχατον, ἀλλὰ καὶ τῇ πρὸς τὰ ἴδια ἀντικείμενα τάξει.

## f. 125 LXIV. — Περὶ τῶν τῆς μεσότητος ἀρετῶν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἠθικὴ ἀρετὴ ἐν μεσότητι ἐστίν· ἐν γὰρ τῇ ἐξισώσει τῇ πρὸς τὸ μέτρον τοῦ λόγου συνίσταται, ὅς ἐστι κανὼν τῆς ὀρεκτικοῦ κινήσεως περὶ τὰ ὀρεκτά· μεταξὺ δὲ τῆς τε ὑπερβολῆς καὶ τῆς ἐλλείψεως ἐστὶν ἡ ἰσότης ἢ τὸ ὁμοειδές.

2. Δεύτερον, ὅτι τὸ μέσον τῆς ἠθικῆς ἀρετῆς καὶ τοῦ λόγου μέσον ἐστίν, οὐ τοῦ πράγματος, τοῦ Φιλοσόφου λέγοντος ἐν δευτέρῳ τῶν ἠθικῶν, ὅτι ἡ ἠθικὴ ἀρετὴ ἐν μεσότητι συνίσταται ὅσον πρὸς ἡμᾶς, καθ' ὡρισμένον λόγον.

3. Τρίτον, ὅτι καὶ αἱ νοεραὶ ἀρεταὶ ἐν τῷ μέσῳ συνίστανται· τῆς γὰρ τέχνης ἔστι τι μέσον, ὡς ἐν τῷ δευτέρῳ τῶν ἠθικῶν λέγεται, διὰ τὸ εἶναι καὶ ταύτης μέτρον τι καὶ κανόνα, καὶ τῇ πρὸς τὸ μέτρον ὁμοιώσει τὸ μέσον λαμβάνεται.

4. Τέταρτον, ὅτι ἡ θεολογικὴ ἀρετὴ οὐ συνίσταται ἐν μεσότητι· περὶ γὰρ τὸν Θεόν, ὅς ἐστιν ἀντικείμενον τῆς θεολογικῆς ἀρετῆς, οὐκ ἐνδέχεται δι' ὑπερβολὴν ἁμαρτάνειν.

Ἔτι, εἰ μηδὲ δυνατόν ἐστιν ἀνθρωπίνῃ φύσει ἐφικέσθαι τοῦ μέτρου, καὶ πιστεύειν, ἢ ἐλπίζειν, ἢ ἀγαπᾶν τὸν Θεὸν ὅσον προσήκει διὰ τὸ ἄπειρον εἶναι τήν τε θείαν μεγαλειότητα καὶ ἀγαθότητα καὶ ἀλήθειαν, σχολῇ γε ὑπερβολή τις ἔσται ἐκεῖ, ἀλλὰ τοσούτῳ ἐστὶ βέλτιον, ὅσῳ τῷ ἄκρῳ προσχωρεῖ.

---

10 Sap. 8, 7 17 *Περὶ τῶν τῆς μεσότητος ἀρετῶν* sic A au lieu de *Περὶ τῆς μεσότητος τῶν ἀρετῶν* (= *De medio virtutum*)

Ε.Σ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXV. — Περὶ τῆς τῶν ἀρετῶν συμπλοκῆς.

1. Περὶ ὃ πρῶτον δείκνυται τὰς ἠθικὰς ἀρετὰς συμπεπλεγμένας ἀλλήλαις εἶναι, Αὐγουστίνου λέγοντος, ὅτι αἱ ἐν τῷ ἀνθρώπῳ ἀρεταὶ οὐδένα τρόπον ἀλλήλων χωρίζονται, καὶ τοῦ Κικέρωνος ἐν τοῖς Τουσκικοῖς ζητήμασιν, ὅτι εἰ μίαν ἀρετὴν ὁμολογεῖς σαυτὸν μὴ κεκτῆσθαι, ἀνάγκη μηδεμίαν σε ἔχειν· καὶ ὁ λόγος ἐστίν, ὅτι ἀτελεῖς μὲν θεωρούμεναι αἱ ἀρεταί, αἵ εἴτ' ἀπὸ φύσεως ῥοπῇ τινι ἐνοῦσαι, εἴτ' ἀπὸ ἔθους, οὐκ εἰσὶ συμπεπλεγμέναι· ὃ δῆλον τῇ τῶν καθέκαστα ἐπαγωγῇ· τέλειαι δὲ θεωρούμεναι, συμπεπλέχαται κατά τε τοὺς διακρίνοντας αὐτὰς καθολικοῖς τισιν ἰδιώμασιν, ὡς, λόγου χάριν, τὴν μὲν διάκρισιν τῆς φρονήσεως εἶναι, τὴν δὲ ὀρθότητα, τῆς δικαιοσύνης· τὸν δὲ ῥυθμόν, τῆς σωφροσύνης· τὴν δὲ βεβαιότητα, | τῆς ἀνδρίας, ἐν οἱαδήποτε ὕλῃ τούτων θεωρουμένων. Ἡ γὰρ f. 125v βεβαιότης οὐκ ἔχει τὸν τῆς ἀρετῆς ἔπαινον ἄνευ ῥυθμοῦ· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων· οὔτε φρόνησις δήλη εἶναι, δικαία μὴ οὖσα· ἢ ἀνδρεία, μὴ σώφρων· καὶ ἐπὶ τῶν ἄλλων. Οἱ δὲ οὕτω διακρίνοντες Γρηγόριος καὶ Αὐγουστῖνος εἰσίν· κατά τε τὸν διακρίνοντα τῇ ὕλῃ Ἀριστοτέλη, τὸ συμπεπλέχθαι αὐτὰς ἕπεται· ἥ τε γὰρ φρόνησις, ὀρθὸς λόγος οὖσα τῶν πρακτῶν, οὐκ ἂν εἴη ἄνευ τῶν ἠθικῶν ἀρετῶν, δι' ὧν ἔχει τις ὀρθῶς πρὸς τὰ πρακτά· αὗταί τε αἱ ἕτεραι ἠθικαὶ οὐκ ἄν ποτε εἶεν ἄνευ φρονήσεως· οὐ γὰρ ἂν προσείη αὐταῖς τὸ ὀρθῶς αἱρεῖσθαι εἰ μὴ διὰ φρονήσεως, οὐκ ἀρκοῦντος πρὸς τὸ ὀρθῶς ἑλέσθαι τὸ πρὸς τὸ ὀφειλόμενον τέλος ῥέψαι, ὃ κυρίως ταῖς ἄλλαις ἁρμόττει, ἀλλὰ καὶ τὸ δεόντως ἑλέσθαι τὰ πρὸς αὐτό, ὃ τῆς φρονήσεως.

2. Δεύτερον, ὅτι αἱ ἠθικαὶ ἀρεταὶ οὐ δύνανται εἶναι ἄνευ ἀγάπης. Ἐν γὰρ τῷ κατὰ Ἰωάννην λέγεται ὅτι· „Ὁ μὴ ἀγαπῶν μένει ἐν τῷ θανάτῳ". Ἀλλὰ διὰ τῶν ἀρετῶν ἡ πνευματικὴ ζωὴ τελειοῦται· αὗται γάρ εἰσιν αἷς καλῶς ζῶμεν, κατὰ Αὐγουστῖνον ἐν τῷ περὶ τοῦ αὐτεξουσίου.

3. Τρίτον, ὅτι οὐδὲ ἡ ἀγάπη ἄνευ τῶν ἄλλων ἀρετῶν ἠθικῶν. Ἐν γὰρ τῷ ὀγδόῳ τῆς Ἰωάννου λέγεται· „Ὁ ἀγαπῶν τὸν πλησίον τὸν νόμον ἐπλήρωσεν". Τὸν δὲ νόμον πληρωθῆναι ἀδύνατον εἰ μὴ διὰ τῶν ἀρετῶν, περὶ ὧν ἐντέλλεται.

4-5. Τέταρτον, ὅτι δυνατὸν εἶναι πίστιν ἄνευ ἐλπίδος, καὶ ταύτην ἄνευ ἀγάπης· ἀγάπην δὲ ἄνευ πίστεως καὶ ἐλπίδος εἶναι ἀδύνατον, ὃ δῆλον ἐκ τῆς προειρημένης αὐτῶν τάξεως ἐν σφίσιν αὐταῖς.

## LXVI. — Περὶ τῆς ἰσότητος αὐτῶν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι δυνατὸν ἄλλην ἀρετὴν ἄλλης εἶναι μείζω. Ἐν γὰρ τῷ πέμπτῳ τοῦ κατὰ Ματθαῖον λέγεται ὅτι· „Ἐὰν μὴ

---

25 I Ioh. 3, 14  29 Rom. 13, 8. A donne une référence fausse  38 Matth. 5, 20

Ε.Γ.Δ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων" · καὶ ἐν τῷ δεκάτῳ τῶν παροιμιῶν · „Ἐν πολλῇ δικαιοσύνῃ μεγίστη ἐστὶν ἀρετή".

2-3. Δεύτερον, ὅτι αἱ νοεραὶ ἀρεταὶ ἁπλῶς ὑπέρκεινται τῶν ἠθικῶν, ὡς καὶ τὸ κατ' οὐσίαν λογικὸν τοῦ κατὰ μετοχὴν λογικοῦ · κατά τι δὲ
f. 126 καί πῃ αἱ ἠθικαὶ τιμιώτεραι, τουτέστιν ὅσον κατὰ τὴν πρὸς τὴν | ἐνέργειαν τάξιν · ἡ γὰρ ἠθικὴ ἀρετὴ τὴν ὄρεξιν τελειοῖ, ἧς ἐστι κινεῖν τὰς ἄλλας δυνάμεις πρὸς τὰς ἑαυτῶν ἐνεργείας, ὡς εἴρηται. Λέγεται δὲ ἡ ἀρετὴ κατὰ τὸ εἶναι ἀρχῆς τινος ἐνεργείας, δυνάμεώς τινος οὖσα τελείωσις.

4. Τρίτον, ὅτι ἡ δικαιοσύνη μεγίστη ἐστὶ τῶν ἠθικῶν ἀρετῶν, τοῦ Φιλοσόφου λέγοντος ἐν πέμπτῳ τῶν ἠθικῶν λαμπροτάτην αὐτὴν εἶναι τῶν ἀρετῶν.

5. Τέταρτον, ὅτι ἡ σοφία μεγίστη νοερῶν, τοῦ αὐτοῦ ἐν τῷ ἕκτῳ τῶν ἠθικῶν λέγοντος, ὅτι ἡ σοφία ὥσπερ τις κεφαλή ἐστι τῶν ἠθικῶν ἀρετῶν · καὶ εὐλόγως · ἡ μὲν γὰρ φρόνησις περὶ τὰ ἀνθρώπινά ἐστι πράγματα, ἡ δὲ σοφία περὶ τὴν ἄκραν αἰτίαν. Εἰ δὲ καὶ ἐπιτακτικὴν λέγεται ἡ φρόνησις ἐν ἕκτῳ τῶν ἠθικῶν, ἀλλ' οὐ παρεμβάλλει τοῖς ἄκροις, περὶ ἃ ἡ σοφία · ἐπιτάττει δὲ μόνον περὶ ἐκείνων, ἃ τάττεται πρὸς τὴν σοφίαν, τουτέστι πῶς δεῖ τοὺς ἀνθρώπους ἐπὶ τὴν σοφίαν ἀνάγεσθαι, καὶ οὕτως ἡ φρόνησις διάκονός ἐστι τῆς σοφίας · εἰσάγει γὰρ πρὸς ταύτην, προοδοποιοῦσα ὥσπερ ὁ θυρωρὸς πρὸς τὸν βασιλέα.

## LXVII. — Περὶ τῆς διαμονῆς τῶν ἀρετῶν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι αἱ ἠθικαὶ ἀρεταὶ μένουσι μετὰ τὴν παροῦσαν ζωήν · ἐν γὰρ τῷ πρώτῳ τῆς Σοφίας λέγεται ὅτι „ἡ δικαιοσύνη αἰώνιός ἐστι καὶ ἀθάνατος". Δεῖ δὲ εἰδέναι, ὅτι ἐν ταῖς τοιαύταις ἀρεταῖς τὸ μέν ἐστιν ὑλικόν, τὸ δὲ εἰδικόν. Ἐπεὶ γοῦν ἐν ἐκείνῃ τῇ καταστάσει χώραν οὐκ ἔχουσιν αἱ ἐπιθυμίαι καὶ αἱ περὶ τὰ σιτία καὶ ἀφροδίσια ἡδοναί, οὐδ' οἱ φόβοι καὶ τὰ θάρρη, οὐδ' αἱ τῶν πραγμάτων ἀμοιβαὶ καὶ διανομαί, οὐδ' ἡ πρὸς ταῦτα ἄτακτος τοῦ ὀρεκτικοῦ ῥοπή, μένει ὅπερ ἐστὶ τὸ ὑλικόν. Ὁ μέντοι γε λόγος ἑκάστου περὶ τὰ τούτῳ προσήκοντα πρὸς τὴν κατάστασιν ἐκείνην ὀρθότατος ἔσται. Τότε ὀρεκτικὸν κατὰ τὴν τοῦ λόγου τάξιν καθάπαξ πρὸς τὰ τῷ βίῳ ἐκείνῳ οἰκεῖα κινήσεται · καὶ ἔσται φρόνησις μὲν ἄνευ πλάνης, ἄνευ δὲ τῆς ἐπαχθείας τῶν κακῶν ἡ ἀνδρία · σωφροσύνη δὲ τῆς πρὸς τὸν οἶστρον μάχης χωρίς. Καὶ τῆς μὲν φρονήσεως ἔσται τότε μηδὲν ἀγαθὸν ἢ προτιμᾶν τοῦ Θεοῦ, ἢ ἐξισοῦν αὐτῷ ·
f. 126v τῆς δὲ ἀνδρίας τὸ ἀσφαλέστατα ἐκείνου | ἔχεσθαι · τῆς δὲ σωφροσύνης τὸ μηδενὶ βλαβερῷ ἥδεσθαι · τῆς δὲ δικαιοσύνης τὸ ὑποτετάχθαι Θεῷ, ἐπεὶ κἀνταῦθα δικαιοσύνης ἐστὶ τὸ ὑποτετάχθαι τῷ κρείττονι.

---

2 Prov. 15, 5 24 Sap. 1, 15 31 *ὀρθότατον* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, εἰδέναι δεῖ, ὅτι ἐν μὲν τῇ τῆς ἀναστάσεως καταστάσει αἱ ἄλογοι δυνάμεις ἐνεργείᾳ ἐν τῇ ψυχῇ ἔσονται διὰ τὸ παρεῖναι τὰ τοῦ σώματος ὄργανα· ἐν δὲ τῇ πρὸ τῆς ἀναστάσεως οὐκ ἔσονται οὕτως ἐν τῇ ψυχῇ, ἀλλ' ἢ ὡς ἐν ῥίζῃ μόνον τῇ ταύτης οὐσίᾳ, πλὴν τῆς δικαιοσύνης, ὅτι αὕτη, ἐν τῇ θελήσει οὖσα, καὶ ἐνεργείᾳ διαμένει· διὸ καὶ ἀθάνατος εἴρηται.

2. Δεύτερον, ὅτι αἱ νοεραὶ ἀρεταὶ μένουσιν ἐν ἐκείνῃ τῇ ζωῇ· καὶ τῶν μερικῶν γὰρ καὶ ἐνδεχομένων ἡ γνῶσις μένει, ὡς ἐν τῷ Λουκᾷ γέγραπται· „Μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου“· πολλῷ μᾶλλον ἡ γνῶσις τῶν καθόλου καὶ ἀναγκαίων, ὅ ἐστι τῆς ἐπιστήμης καὶ τῶν νοερῶν ἀρετῶν.

3. Τρίτον, ὅτι ἡ πίστις οὐ μένει μετὰ τὴν παροῦσαν ζωήν, τοῦ Ἀποστόλου λέγοντος· „Ἐφόσον γάρ ἐσμεν ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου· διὰ πίστεως γὰρ περιπατοῦμεν καὶ οὐ διὰ εἴδους“. Οἱ δὲ ἐν δόξῃ οὐκ ἀποδημοῦσι τοῦ Κυρίου, ἀλλὰ πάρεισιν αὐτῷ· ἡ πίστις ἄρα οὐ μένει.

4. Τέταρτον, ὅτι οὐδὲ ἡ ἐλπὶς μένει, τοῦ Ἀποστόλου λέγοντος ἐν τρισκαιδεκάτῳ τῆς πρὸς Ῥωμαίους· „Ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει“; Ὅτι δὲ οἱ μακάριοι ὁρῶσι τὸ ἀντικείμενον τῆς αὐτῶν ἐλπίδος, τὸν Θεόν, δέδεικται.

5. Πέμπτον, ὅτι οὐδὲν τῆς πίστεως καὶ τῆς ἐλπίδος ἐν ἐκείνῃ μένει τῇ δόξῃ· ἡ πίστις γὰρ ἁπλῆ τίς ἐστιν ἕξις· τὸ δὲ ἁπλοῦν ἢ ὅλον ἀναιρεῖται, ἢ ὅλον μένει. Ἐπεὶ τοίνυν οὐ διόλου μένει ἡ πίστις, ἀλλὰ καταργεῖται, ὡς εἴρηται, δοκεῖ καὶ παντελῶς ἀναιρεῖσθαι. Εἰ δὲ λέγοι τις, ὅτι ἀναιρουμένου τοῦ ἰδίου τὸ κοινὸν μένει, ὡς τοῦ λογικοῦ, μένει τὸ ζῷον, καὶ τοῦ ζῴου αὖθις ἀναιρουμένου, τὸ ὄν· οὕτω καὶ τοῦ αἰνιγματικοῦ ἀναιρουμένου, ὃ ἴδιον τῆς πίστεως ἐστί, μένει αὐτὴ ἡ τῆς πίστεως γνῶσις· ἔστι γὰρ τὸ ὅλον αἰνιγματικὴ γνῶσις· ῥητέον ὅτι, ἀναιρεθέντος τοῦ λογικοῦ, οὐ μένει τὸ ζῷον ταὐτὸν ἀριθμῷ, ἀλλὰ τῷ γένει ταὐτόν.

## LXVIII. — Περὶ τῶν θείων χαρισμάτων. f. 127

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι τὰ χαρίσματα διαφέρουσι τῶν ἀρετῶν, τοῦ Γρηγορίου, ἐν πρώτῳ τῶν ἠθικῶν, τὰ ἑπτὰ χαρίσματα, ἅ φησιν δηλοῦσθαι διὰ τῶν ἑπτὰ υἱῶν τοῦ Ἰώβ, διακρίνοντος τῶν θεολογικῶν ἀρετῶν, ἅς φησι δηλοῦσθαι διὰ τῶν τριῶν θυγατέρων τοῦ Ἰώβ· καὶ τῶν τεσσάρων γενικῶν ἀρετῶν, ἅς φησι δηλοῦσθαι διὰ τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας. Εἰ γὰρ καὶ κοινὸν ἔχουσι τὸν τῆς ἀρετῆς λόγον· διὸ καὶ ἀρεταὶ πολλάκις καλοῦνται· ἀλλ' ἔχουσί τι ὑπεραναβεβηκός, καθόσον εἰσὶ αἵτινες ἀρεταὶ τελειοῦσαι τὸν ἄνθρωπον καθόσον ὑπὸ Θεοῦ κινεῖται, ὡς

---

8 Luc. 16, 25  12 II Cor. 5, 6  17 Rom. 8, 24

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ὁ Φιλόσοφος τίθησιν ὑπὲρ τὴν κοινὴν ἀρετὴν ἡρωϊκήν τινα καὶ θείαν· καὶ οὕτω δῶρα καλοῦνται.

2. Δεύτερον, ὅτι ἀναγκαῖα πρὸς σωτηρίαν εἰσίν. Ὁ γὰρ Γρηγόριος ἐν δευτέρῳ τῶν ἠθικῶν φησὶν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον δίδωσι σοφίαν κατὰ τῆς μανίας, σύνεσιν κατὰ τῆς ῥᾳθυμίας, βουλὴν πρὸς τὸ μὴ ἐκτραχηλίζεσθαι, ἀνδρίαν κατὰ τοῦ φόβου, ἐπιστήμην κατὰ τῆς ἀγνοίας, οἶκτον κατὰ τῆς σκληρότητος, φόβον κατὰ τῆς ὑπερηφανίας· πρὸς δὲ τὸ ταῦτα ἀναιρεθῆναι οὐκ ἀρκοῦσά ἐστιν ἡ διὰ τῶν ἀρετῶν καθ' αὑτὰς θεραπεία, εἰ μὴ καθόσον αὗται τῇ θείᾳ χάριτι βεβαιοῦνται.

3. Τρίτον, ὅτι ἕξεις εἰσίν. Ἐν γὰρ ἑνδεκάτῳ τοῦ κατὰ Ματθαῖον λέγεται ὅτι· „Τὸ Πνεῦμα τὸ ἅγιον παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται"· οὐκ ἔστι δὲ τοῦτο ἐν τοῖς ἀνθρώποις ἄνευ τῶν αὐτοῦ χαρισμάτων· μένουσιν οὐκοῦν κἀκεῖνα· οὐκ ἄρα ἐνέργειαι μόνον ἢ πάθη εἰσίν, ἀλλὰ ἕξεις ἐμμένουσαι· καὶ ὥσπερ αἱ ἠθικαὶ ἀρεταὶ ἕξεις τινές εἰσιν, αἷς αἱ ὀρεκτικαὶ δυνάμεις διατίθενται πρὸς τὸ προθύμως ὑπείκειν τῷ λόγῳ, οὕτω ταῦτα ἕξεις τινές εἰσιν, αἷς ὁ ἄνθρωπος τελειοῦται πρὸς τὸ τῇ θείᾳ ὁδηγίᾳ ὑπείκειν καὶ ὑπακούειν τῇ ταύτης ἐξουσίᾳ.

4. Τέταρτον, ὅτι δεόντως ἀριθμοῦνται, καὶ εἰς τοῦτο ἀρκεῖ τὸ τῆς Γραφῆς ἀξίωμα ἐν δεκάτῳ πέμπτῳ τοῦ Ἡσαΐου.

5. Πέμπτον, ὅτι συμπεπλεγμένα εἰσὶν καὶ ὑπ' ἀλλήλων ἀναζωπυροῦνται, ὃ δηλοῦται καὶ διὰ τῆς ἐν τῷ συμποσίῳ τῶν παιδίων τοῦ Ἰὼβ δεξιώσεως ὑπ' ἀλλήλων τῶν υἱῶν αὐτοῦ καὶ θυγατέρων, ὡς ὁ Γρηγόριος λέγει.

f. 127 v 6. Ἕκτον, ὅτι μένουσιν ἐν τῇ πατρίδι. Ὅσον πρὸς τὴν οὐσίαν αὐτῶν καὶ τελειότητα μένουσιν, ὅτι καὶ τελεώτερον ἐν τῇ πατρίδι οἱ μακάριοι τῇ τοῦ Πνεύματος ἕψονται ὁδηγίᾳ, „ὅτε ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν", ὡς ἐν τῇ πρὸς Κορινθίους λέγεται, καὶ ὅτε ὁ ἄνθρωπος παντελῶς ὑποταγήσεται τῷ Θεῷ. Καθόσον δὲ ἐνταῦθα περί τινα ὕλην ἐνεργοῦσιν, ἣν οὐχ ἕξουσιν ἐκεῖ, οὐ μένουσιν, ὥσπερ περὶ τῶν γενικῶν εἴρηται.

8. Ἕβδομον, ὅτι τὰ χαρίσματα τῶν ἀρετῶν προτιμότερα, ἅτε ἐπὶ βοηθείᾳ τῶν ἀρετῶν διδόμενα κατὰ τῆς ἀσθενείας, καὶ τελειοῦνται τὸ μὴ δυνάμενον ὑπὸ τῶν ἀρετῶν τελειοῦσθαι· φημὶ δὲ τοῦτο περί τε τῶν νοερῶν καὶ ἠθικῶν, ἀλλ' οὐ τῶν θεολογικῶν· πρὸς γὰρ ταύτας ἔχουσι τὰ χαρίσματα ὡς αἱ ἠθικαὶ πρὸς τὰς νοεράς· προηγοῦνται γὰρ αἱ θεολογικαὶ τῶν χαρισμάτων καὶ τάττουσι ταῦτα.

## LXIX. — Περὶ τῶν μακαρισμῶν.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι οἱ μακαρισμοὶ τῶν χαρισμάτων διακρίνονται. Ἡ γὰρ τῷ πνεύματι πτωχεία καὶ τὸ πένθος καὶ ἡ εἰρήνη

11 Ioh. 14, 17  25 I Cor. 15, 28

Ε.Υ.Δ της Κ.Τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

τοῖς μακαρισμοῖς ἐναριθμοῦνται, οὔτε ἀρεταὶ ὄντα, οὔτε χαρίσματα· διακρίνονται δὲ οὐχ ὡς ἕξεις ἕξεων διακρίνονται, ἀλλ' ὥσπερ αἱ ἐνέργειαι τῶν ἕξεων.

2. Δεύτερον, ὅτι τὰ τοῖς μακαρισμοῖς ἀποδιδόμενα ἆθλα κατὰ μὲν τὸν Ἀμβρόσιον τῇ μελλούσῃ μακαριότητι ἀποδίδονται, κατὰ δὲ Αὐγουστῖνον ἐν τῇ παρούσῃ πάντα τελοῦνται ζωῇ, κατὰ δὲ τὸν Χρυσόστομον τὰ μὲν εἰς τὴν μέλλουσαν ἀνήκει ζωήν, τὰ δὲ εἰς τὴν παροῦσαν, ὃ καὶ βέλτιον, διότι τὰ μὲν αὐτῶν ὡς τινα ἀγαθὰ ἔργα λεγόμενα προπαρασκευαί τινές εἰσιν ἢ διαθέσεις ἐπὶ τὴν τελείαν ἢ τὴν ἤδη ἀρχομένην μακαριότητα· τὰ δ' ὥσπερ τινὰ ἆθλα κείμενα δύνανται εἶναι ἢ αὐτὴ ἡ τελεία μακαριότης, καὶ οὕτω πρὸς τὴν μέλλουσαν ἀνήκει ζωήν· ἢ ἀρχὴ τῆς μακαριότητος, ὡς ἐν τοῖς τελείοις ἀνδράσι, καὶ οὕτω τὰ ἆθλα εἰς τὴν παροῦσαν ἀνήκει ζωήν.

3. Τρίτον, ὅτι οἱ μακαρισμοὶ οὗτοι οἰκειότατα ἀριθμοῦνται. Τριπλῆν γὰρ ὑπέθεντο τὴν μακαριότητα· οἱ μὲν ἐν τῇ καθ' ἡδονὴν ζωῇ· οἱ δὲ ἐν τῇ πρακτικῇ· | οἱ δὲ ἐν τῇ θεωρητικῇ· αὗται δὲ διαφόρως ἔχουσι τῷ ὄντι (f. 128) πρὸς τὴν μέλλουσαν μακαριότητα, ἧς τῇ ἐλπίδι λεγόμεθα ἐνταῦθα μακάριοι. Ἡ μὲν γὰρ καθ' ἡδονήν, ἐπεὶ ψευδής ἐστι καὶ τῷ λόγῳ ἐναντία, κωλυτική τίς ἐστι τῆς μελλούσης μακαριότητος· ἡ δὲ τῆς πρακτικῆς ζωῆς μακαριότης διατίθησι πρὸς τὴν μέλλουσαν μακαριότητα· ἡ δὲ θεωρητική, τελεία μὲν οὖσα, αὐτή ἐστιν ἡ μέλλουσα μακαριότης οὐσιωδῶς· ἀτελὴς δὲ οὖσα, ἀπαρχή τις ἐστὶν ἐκείνης· ὅθεν ὁ Κύριος ἡμῶν πρῶτον τίθησι μακαριότητάς τινας οἷον ἀναιρούσας τὰ ἀπὸ τῆς καθ' ἡδονὴν κωλύματα.

Συνίσταται δὲ αὕτη ἐν δυσί· πρῶτον μὲν ἐν τῷ πλεονασμῷ τῶν ἔξωθεν ἀγαθῶν, εἴτε χρήματα εἶεν ταῦτα, εἴτε τιμαί, ὧν ἀφέλκεται ὁ ἄνθρωπος διὰ μὲν τῆς ἀρετῆς ὥστε τούτοις συμμέτρως χρῆσθαι, διὰ δὲ τοῦ χαρίσματος καὶ ὑψηλότερον, ὥστε καὶ πάντῃ καταφρονεῖν· ὅθεν ὁ πρῶτος μακαρισμὸς ὑπόκειται καὶ δύναται ἀναφέρεσθαι ἢ ἐπὶ τὴν καταφρόνησιν τῶν χρημάτων, ἢ διὰ τὴν ὑπεροψίαν τῶν ἔξωθεν τιμῶν, ὃ διὰ τῆς ταπεινοφροσύνης ἐγγίνεται· δεύτερον δὲ ἡ καθ' ἡδονὴν ζωὴ συνίσταται ἐν τῷ τοῖς ἰδίοις πάθεσιν ἕπεσθαι, ἢ τοῦ θυμικοῦ, ἢ ἐπιθυμητικοῦ· τοῦ δὲ ἕπεσθαι τοῖς τοῦ θυμικοῦ πάθεσιν ἀφέλκει μὲν ἡ ἀρετὴ ὥστε μὴ πλεονάζειν ἐν τούτοις τὸν ἄνθρωπον, ὑπερβαίνοντα τὸν κανόνα τοῦ λόγου· τὸ δὲ χάρισμα ὑψηλότερόν τινα τρόπον, ὥστε δηλονότι τὸν ἄνθρωπον κατὰ τὴν θείαν θέλησιν παντελῶς ἀπὸ τούτων ἀτάραχον διαμένειν· ὅθεν ὁ δεύτερος μακαρισμὸς μακαρίους εἶναι φησὶ τοὺς πραεῖς· τοῦ δὲ ἀκολουθεῖν τοῖς τοῦ ἐπιθυμητικοῦ πάθεσιν ἀπάγει ἡ μὲν ἀρετὴ τῷ μετρίῳ τοῖς τοιούτοις πάθεσι χρῆσθαι· τὸ δὲ χάρισμα τῷ καὶ παντελῶς αὐτὰς ἀποβάλλεσθαι, τῆς ἀνάγκης καλούσης, μᾶλλον μὲν οὖν, εἰ δέοι, τῷ καὶ ἑκούσιον πένθος ἀναλαμβάνειν· ὅθεν ὁ τρίτος μακαρισμὸς τοὺς πενθοῦντας μακαρίζει.

Ἡ δὲ πρακτικὴ ζωὴ ἐν τοῖς πρὸς τὸν πλησίον μάλιστα συνίσταται

Ε.Υ.Ζήσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 128v ἢ κατὰ τὸν τῆς ὀφειλῆς λόγον, | ἢ κατὰ τὸν τῆς ἑκουσίου εὐεργεσίας. Πρὸς μὲν οὖν τὸ πρότερον ἡμᾶς διατίθησιν ἡ ἀρετὴ ὥστε τὰ ὀφειλόμενα ἀνυπερθέτως ἀποδιδόναι, ὅ ἐστι τῆς δικαιοσύνης· τὸ δὲ χάρισμα ἀφθονώτερόν τινι διαθέσει εἰς αὐτὸ τοῦτο ἐνάγει, ὥστε ζεούσῃ δηλονότι ἐπιθυμίᾳ τὰ τῆς δικαιοσύνης ἔργα ἀποπληροῦν, ὥσπερ ὁ ἐπιτεταμένως πεινῶν ἢ διψῶν ἐπιθυμεῖ τοῦ σιτίου καὶ τοῦ ποτοῦ, καὶ εἰς τοῦτο ὁ τέταρτός ἐστι μακαρισμός. Περὶ δὲ τὰ ἑκούσια δῶρα τελειοῖ ἡμᾶς ἡ μὲν ἀρετὴ ὥστ' ἐκείνοις δωρεῖσθαι οἷς ἡμᾶς χαρίζεσθαι δεῖν ὁ λόγος ὑπαγορεύει, οἷον τοῖς ὁπωσοῦν συνημμένοις, ὅπερ ἐλευθεριότητός ἐστιν· τὸ δὲ χάρισμα μόνην τὴν εἰς τὸν Θεὸν αἰδῶ θεωρεῖν ποιεῖ ἐν τῷ δωρεῖσθαι, ὡς ἐν τῷ κατὰ Λουκᾶν λέγεται· „Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ κάλει τοὺς φίλους σου, ἢ τοὺς ἀδελφούς σου, ἀλλὰ κάλει πτωχοὺς καὶ ἀσθενεῖς“, ὃ κυρίως ἐστὶν ἐλεεῖν, καὶ διὰ τοῦτο ὁ πέμπτος μακαρισμὸς ἐπὶ τῶν ἐλεημόνων ἐστίν.

Τὰ δὲ τῆς θεωρητικῆς ζωῆς ἢ αὐτά εἰσιν ἡ τοῦ τέλους μακαριότης, ἢ ἀπαρχή τις ἐκείνης, καὶ διὰ τοῦτο κεῖνται ἐν τοῖς μακαρισμοῖς οὐχ ὥσπερ ἀγαθὰ ἔργα, ἀλλ' ὥσπερ ἆθλα. Κεῖνται ὥσπερ ἀγαθὰ ἔργα τῆς πρακτικῆς ζωῆς ἀποτελέσματα ἐκεῖνα, οἷς διατίθεται ὁ ἄνθρωπος περὶ τὴν θεωρητικὴν ζωήν· τῆς δὲ πρακτικῆς ζωῆς ἀποτελέσματα, ὅσον πρὸς τὰ χαρίσματα καὶ τὰς ἀρετάς, οἷς ὁ ἄνθρωπος τελειοῦται ἐν ἑαυτῷ, ἡ καθαρότης ἐστὶ τῆς καρδίας, ὥστε δηλαδὴ τὴν τοῦ ἀνθρώπου διάνοιαν τοῖς πάθεσι μὴ μολύνεσθαι, καὶ πρὸς τοῦτο ὁ ἕκτος μακαρισμὸς ὁ περὶ τῆς καθαρότητος τῆς καρδίας· ὅσον δὲ πρὸς τὰς ἀρετὰς καὶ τὰ χαρίσματα οἷς τελειοῦται ὁ ἄνθρωπος ἐν τῇ πρὸς τὸν πλησίον παραθέσει, ἀποτέλεσμα τῆς πρακτικῆς ζωῆς ἐστιν ἡ εἰρήνη, κατὰ τὸ τριακοστὸν τοῦ Ἡσαΐου· „Ἔργον δικαιοσύνης εἰρήνη“, καὶ διὰ τοῦτο ἕβδομος μακαρισμὸς κεῖται ὁ τὴν εἰρήνην ποιῶν.

f. 129

## LXX. — Περὶ τῶν καρπῶν τοῦ Πνεύματος.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι οἱ καρποὶ τοῦ Πνεύματός εἰσιν ἐνέργειαί τινες, ὡς ἐν τῷ δωδεκάτῳ τοῦ κατὰ Ματθαῖον λέγεται, ὅτι· „Ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεται“, τουτέστιν ἐκ τῶν ἔργων τῶν ἑαυτοῦ ὁ ἄνθρωπος, ὡς οἱ ἅγιοι αὐτόθι ἐξηγοῦνται.

Ἰστέον δὲ ὅτι τὰ ἡμέτερα ἔργα, καθόσον εἰσὶν ἀποτελέσματά τινα τοῦ ἁγίου Πνεύματος ἐν ἡμῖν ἐνεργοῦντος, ἔχουσι λόγον καρποῦ· καθόσον δὲ τάττονται πρὸς τὸ τέλος τῆς αἰωνίου ζωῆς, μᾶλλον ἄνθους ἔχουσι λόγον· ὅθεν λέγεται ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ Ἐκκλησιαστοῦ· „Τὰ ἄνθη μου καρποὶ τιμῆς καὶ εὐθυνότητος“.

2. Δεύτερον, ὅτι οἱ καρποὶ διαφέρουσι τῶν μακαρισμῶν· ὧν γὰρ τὰ

---

11 Luc. 14, 12 25 Is. 32, 17 36 Eccli. 24, 23

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἴδη διάφορα, καὶ αὐτὰ διάφορα· ἀλλ' εἰς διάφορα μέρη διαιροῦνται οἱ καρποὶ καὶ οἱ μακαρισμοί, ὃ δῆλον ἐκ τῆς ἑκατέρων ἀπαριθμήσεως.

Ἔτι, πλέον ζητεῖται πρὸς τὸν λόγον τῆς μακαριότητος ἢ πρὸς τὸν λόγον τοῦ καρποῦ· πρὸς μὲν γὰρ τὸν τοῦ καρποῦ λόγον ἀρκεῖ τὸ εἶναί τι λόγον ἔχον ἐσχάτου καὶ ἡδέος· πρὸς δὲ τὸν τῆς μακαριότητος περαιτέρω ζητεῖται τὸ εἶναί τι τέλειον καὶ προέχον· ὅθεν πᾶσαι μὲν αἱ μακαριότητες δύνανται εἶναι καὶ καρποί, οὐ μὴν ἀντιστρέφει. Εἰσὶ μὲν γὰρ καρποὶ καὶ πάντα τὰ κατ' ἀρετὴν ἔργα οἷς ὁ ἄνθρωπος ἥδεται, μακαριότητες δὲ μόνα τὰ τέλεια ἔργα, ἃ διὰ τοῦ λόγου τῆς αὐτῶν τελειότητος μᾶλλον τοῖς χαρίσμασιν ἢ ταῖς ἀρεταῖς ἀποδίδονται.

3. Τρίτον, ὅτι δεόντως ἀριθμοῦνται τῷ Ἀποστόλῳ ἐν πέμπτῳ τῆς πρὸς Γαλάτας δώδεκα καρποί, καὶ δηλοῦνται διὰ τῶν δώδεκα καρπῶν τῶν ἐν τῷ ἐσχάτῳ τῆς Ἀποκαλύψεως λεγομένων, ὅτι· „Ἐξ ἑκατέρου μέρους τοῦ ποταμοῦ τὸ ξύλον τῆς ζωῆς φέρον καρποὺς δώδεκα“. Ἐπεὶ δὲ καρπὸς λέγεται τὸ ἔκ τινος ἀρχῆς προϊὸν ὡς ἐκ ῥίζης ἢ σπέρματος, τὴν διάκρισιν τῶν καρπῶν τούτων ἀποδοτέον ἂν εἴη κατὰ τὴν διάφορον ἐν ἡμῖν πρόοδον τοῦ ἁγίου Πνεύματος· ἡ δὲ πρόοδος κατὰ τοῦτο νοεῖται, ὥστε πρῶτον μὲν ἐν ἑαυτῷ τάττεσθαι τὸν νοῦν | [f. 129v] τοῦ ἀνθρώπου· δεύτερον, τάττεσθαι πρὸς τὸν πλησίον· τρίτον, πρὸς τὰ μεθ' ἑαυτόν, ἤτοι τὰ ἔξωθεν· τότε δὲ πρὸς ἑαυτὸν εὖ διάκειται ὁ νοῦς τοῦ ἀνθρώπου, ὅτε καλῶς ἔχει περὶ τὰ ἀγαθὰ καὶ κακά. Πρώτη δὲ περὶ τὸ ἀγαθὸν διάθεσίς ἐστι τοῦ ἀνθρωπίνου νοῦ διὰ τῆς ἀγάπης, ἥ ἐστι πρώτη σχέσις καὶ πασῶν σχέσεων ῥίζα, ὡς εἴρηται, καὶ διὰ τοῦτο ἐν τοῖς καρποῖς τοῦ Πνεύματος πρώτη κεῖται ἡ ἀγάπη, ἐν ᾗ ἰδίως τὸ Πνεῦμα τὸ ἅγιον δίδοται ὡς ἐν ἰδίᾳ ὁμοιότητι, ἐπεὶ καὶ αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἀγάπη ἐστίν· ὅθεν ἐν τῷ πέμπτῳ τῆς πρὸς Ῥωμαίους λέγεται· „Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου, τοῦ δοθέντος ἡμῖν“. Τῇ δὲ ἀγάπῃ ἐξ ἀνάγκης ἕπεται ἡ χαρά· πᾶς γὰρ ὁ ἀγαπῶν χαίρει διὰ τὴν συνάφειαν τοῦ ἀγαπωμένου· ἀεὶ δὲ τὸν Θεὸν ἡ ἀγάπη ἔχει παρόντα ὃν ἀγαπᾷ, κατὰ τὸ τέταρτον τῆς Ἰωάννου πρώτης· „Ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ“. Ὅθεν χαρά ἐστι τὸ ἑπόμενον τῇ ἀγάπῃ· τελείωσις δὲ τῆς χαρᾶς ἐστιν ἡ εἰρήνη, καὶ τοῦτο δυοῖν ἕνεκα· πρῶτον μὲν ὅσον πρὸς τὴν ἀπὸ τῶν ἔξωθεν ταραττόντων ἠρεμίαν· οὐ γὰρ δυνατὸν τελείως χαίρειν ἐπὶ τῷ ἀγαπωμένῳ ἀγαθῷ, τῷ ὑπὸ τῶν ἄλλων ἐν τῇ ἀπολαύσει τούτου ταραττομένῳ, καὶ πάλιν* . . . . . ἐνὶ τὴν καρδίαν εἰρηνεύουσαν

* *Ἰστέον ὅτι τὸ περὶ τῶν καρπῶν τοῦτο κεφάλαιον ἐλλιπῶς εἶχεν ἐν τῷ πρωτοτύπῳ καὶ ἐλλιπῶς ἀντιγέγραπται*, note de A, à la marge inférieure du f. 129v, pour expliquer la lacune.

13 Apoc. 22, 2   26 Rom. 5, 5   30 I Ioh. 4, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔχοντα ἀδύνατον ὑπ' ἄλλου τινὸς ἐνοχλεῖσθαι διὰ τὸ ὡς μηδὲν ἡγεῖσθαι τὰ ἄλλα· ὅθεν λέγεται ἐν τοῖς Ψαλμοῖς· „Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον", ὡς ὑπὸ τῶν ἔξωθεν δηλονότι μὴ ταραττομένοις πρὸς τὴν θείαν ἀπόλαυσιν· δεύτερον δὲ ὅσον πρὸς τὴν καταστολὴν τῆς κυμαινούσης ἐπιθυμίας· οὐδὲ γὰρ τελείως χαίρει τινί, ὅπερ οὐκ ἀρκεῖται ἐφ' ᾧ χαίρει· ταῦτα δὲ τὰ δύο δηλοῖ ἡ ἀγάπη τὸ μήθ' ὑπὸ τῶν ἔξωθεν ταράττεσθαι καὶ τὰς ἡμετέρας ἐπιθυμίας ἐν ἑνὶ ἠρε-
f. 130 μεῖν· ὅθεν μετὰ τὴν ἀγάπην καὶ τὴν | χαράν, τρίτον ἐστὶν ἡ εἰρήνη.

Πρὸς δὲ τὰ κακὰ καλῶς ἔχει ὁ νοῦς κατὰ δύο ταῦτα· πρῶτον μὲν ὥστε μὴ ταράττεσθαι τῇ τῶν κακῶν ἐπιφορᾷ, ὅπερ ἐστὶ τῆς ὑπομονῆς· δεύτερον, ὥστε μὴ ταράττεσθαι ἐν τῇ στενότητι τῶν ἀγαθῶν, ὅπερ ἐστὶ τῆς μακροθυμίας· τὸ γὰρ ἀγαθοῦ ἐστερῆσθαι λόγον ἔχει κακοῦ, ὡς λέγεται ἐν τῷ πέμπτῳ τῶν ἠθικῶν.

Πρὸς δὲ τὰ ἐγγὺς τοῦ ἀνθρώπου, τουτέστι τὸν πλησίον, καλῶς ἔχει ὁ τοῦ ἀνθρώπου νοῦς πρῶτον μὲν ὅσον πρὸς τὴν τοῦ εὖ ποιεῖν θέλησιν, καὶ τοῦτό ἐστι τῆς χρηστότητος· δεύτερον δὲ ὅσον πρὸς τὴν τῆς εὐποιΐας ἀποπλήρωσιν, καὶ τοῦτό ἐστι τῆς ἀγαθωσύνης· λέγονται γὰρ ἀγαθόεργοι οὓς τὸ καλὸν πῦρ τῆς ἀγάπης ζῆν ποιεῖ πρὸς τὸ εὖ ποιεῖν τοὺς πλησίον· τρίτον, ὅσον πρὸς τὸ πράως φέρειν τὰ παρ' ἐκείνων ἐπαγόμενα κακά, καὶ τοῦτό ἐστι τῆς πραότητος, ἣ τὰς ὀργὰς ἐπέχει· τέταρτον, ὅσον πρὸς τὸ μὴ μόνον δι' ὀργῆς μὴ βλάπτειν τὸν πλησίον, ἀλλὰ μηδὲ δι' ἀπάτης ἢ δόλου, καὶ τοῦτ' ἔστι τῆς πίστεως, εἰ ἀντὶ τοῦ θάρρους λαμβάνοιτο· εἰ δ' ἀντὶ τῆς πίστεως ᾗ πιστεύομεν εἰς τὸν Θεόν, διὰ ταύτης τάττεται ὁ ἄνθρωπος πρὸς τὸ ὑπὲρ αὐτόν, ὥστε δηλονότι τὸν ἄνθρωπον τὸν ἑαυτοῦ νοῦν τῷ Θεῷ ὑποτάττειν, καὶ ἀκολούθως πάντα τὰ ἑαυτοῦ.

Πρὸς δὲ τὰ μεθ' ἑαυτὸν καλῶς ὁ ἄνθρωπος τάττεται πρῶτον μὲν ὅσον πρὸς τὰς ἔξωθεν ἐνεργείας τῷ μέτρον τηρεῖν ἐν πᾶσι τοῖς λεγομένοις καὶ πραττομένοις· ἔπειτα ὅσον πρὸς τὰς ἔνδον ἐπιθυμίας δι' ἐγκρατείας καὶ ἁγνότητος, εἴτε ταῦτα τὰ δύο διακρίνοιντο κατὰ τὸ τὴν μὲν ἁγνότητα τηρεῖν τὸν ἄνθρωπον τῶν ἀπηγορευμένων, τὴν δὲ ἐγκράτειαν καὶ τῶν ἐνδεχομένων· εἴτε τῷ τὴν μὲν ἐγκράτειαν πάσχειν μὲν ὑπὸ τῶν ἐπιθυμιῶν, μὴ μέντοι καὶ ἄγεσθαι, τὴν δὲ ἁγνότητα μήτε πάσχειν, μήτ' ἄγεσθαι.

## Des péchés et des vices.

### LXXI. — Καθόλου περὶ παθῶν καὶ ἁμαρτημάτων.

1. Περὶ τούτο πρῶτον δείκνυται, ὅτι τὸ πάθος ἐναντιοῦται τῇ ἀρετῇ·
f. 130v | ἔστι γὰρ ποιότης καθ' ἣν πονηρά ἐστιν ἡ διάνοια. Ἀρετὴ δέ ἐστι ποιότης ἀγαθὸν ποιοῦσα τὸν ἔχοντα, καὶ ἀντίκειται τὸ πάθος αὐτῇ κυρίως, καθό ἐστιν ἀρετὴ καὶ κατὰ τὴν αὐτῆς οὐσίαν· ἀρετὴ γάρ ἐστι κυρίως

ΙΩΑΝΝΙΝΑ 2006

διάθεσις τοῦ τελείου πρὸς τὸ ἄριστον· τέλειον δὲ λέγω ὃ κατὰ φύσιν διάκειται, ὡς ἐν ἑβδόμῳ τῶν φυσικῶν· πάθος δέ ἐστιν ἑκάστου τὸ μὴ διάκεισθαι κατὰ τὴν αὐτοῦ φύσιν· ἀντίκειται δὲ τῇ ἀρετῇ κατὰ τὸ πρὸς ὅ ἐστιν αὐτή, ἤγουν καθὸ πρακτική ἐστι τοῦ ἀγαθοῦ, ἡ ἁμαρτία, ἄτακτον ἐνέργειαν σημαίνουσα· κατὰ δὲ τὸ ἑπόμενον τῇ οὐσίᾳ αὐτῆς, ἡ πονηρία ἀντίκειται ἀγαθότητί τινι, οὔσῃ ἑπομένως.

2. Δεύτερον, ὅτι τὸ πάθος παρὰ φύσιν ἐστὶν οὐ καθὸ τὸ παρὰ τὴν φύσιν ἀντίκειται τῷ παρὰ τῆς φύσεως, ἀλλὰ καθὸ τῷ κατὰ τὴν φύσιν ἀντίκειται, ὃν τρόπον αἱ ἀρεταὶ κατὰ φύσιν λέγονται, καθ' ὃ ῥέπειν ποιοῦσιν ἐπὶ τὸ οἰκεῖον τῇ φύσει.

3. Τρίτον, ὅτι τὸ πάθος, εἴτουν ἡ πονηρὰ ἕξις, οὐκ ἔστι χεῖρον τοῦ ἁμαρτήματος· οὐ γὰρ διὰ τὸ πάθος τις κολάζεται, ἀλλὰ διὰ τὴν ἐμπαθῆ πρᾶξιν.

4. Τέταρτον, ὅτι ἡ ἐμπαθὴς ἐνέργεια, εἴτουν ἡ ἁμαρτία, δύναται εἶναι ἅμα μετὰ τῆς ἀρετῆς· ὡς γὰρ φησὶν ὁ Φιλόσοφος ἐν δευτέρῳ τῶν ἠθικῶν, ἡ ἀρετὴ διὰ τῶν ἐναντίων καὶ γίνεται καὶ φθείρεται· μία δὲ ἐνάρετος πρᾶξις οὐκ ἔστιν αἰτία ἀρετῆς· οὐδ' ἄρα μία ἐνέργεια ἁμαρτήματος ἀναιρεῖ τὴν ἀρετήν· δύνανται ἅμα τοίνυν εἶναι ἐν τῷ αὐτῷ· λέγω δὲ εἶναι ἅμα τῇ ἀρετῇ, οὐ τῇ ἐνεργείᾳ τῆς ἀρετῆς· ἀδύνατον γὰρ οὕτως· ἀλλὰ τῇ ἕξει.

5. Πέμπτον, ὅτι οὐκ ἐν μόνῃ τῇ ἐνεργείᾳ ἐστὶ τὸ ἁμάρτημα· λέγεται γὰρ ἐν τετάρτῳ τῆς Ἰακώβου· „Τῷ γινώσκοντι τὸ ἀγαθὸν καὶ μὴ ποιοῦντι ἁμαρτία ἐστὶν αὐτῷ“. Ἀλλὰ τὸ μὴ ποιεῖν οὐ σημαίνει ἐνέργειαν. Δύναται ἄρα ἄνευ ἐνεργείας εἶναί τι ἁμάρτημα.

6. Ἕκτον, ὅτι καλῶς ὥρισται ἡ ἁμαρτία· λόγος, ἢ πρᾶξις, ἢ ἐπιθυμία ἐναντία τῷ αἰωνίῳ νόμῳ· τὸ γὰρ λόγος, ἢ πρᾶξις, ἢ ἐπιθυμία ἔστι τι τῇ οὐσίᾳ τῆς ἀνθρωπίνης ἐνεργείας προσῆκον οἷόν τι ὑλικόν· τὸ δὲ ἐναντίον | τῷ αἰωνίῳ νόμῳ τῷ τοῦ καλοῦ λόγῳ προσήκει οἷόν τι εἰδικὸν ἐν τῇ f. 131 ἁμαρτίᾳ. Ἔστι δὲ πρῶτος κανὼν τῶν ἀνθρωπίνων ἐνεργειῶν ὁ αἰώνιος νόμος, ὅς ἐστιν οἷον λόγος τοῦ Θεοῦ· προσεχὴς δὲ καὶ ὁμογενὴς αὐτὸς ὁ ἀνθρώπινος λόγος, οὗ ἀποχωρήσασα ἡ ἀνθρωπίνη ἐνέργεια, ἀσύμμετρός ἐστι καὶ πονηρά, ὥσπερ ἡ σύμμετρος ἀγαθὴ καὶ ἐνάρετος.

## LXXII. — Περὶ τῆς διακρίσεως τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι τὰ ἁμαρτήματα διαφέρουσιν εἴδει κατὰ τὰ ἀντικείμενα· πρὸς γὰρ τὸν τοῦ ἁμαρτήματος λόγον δύο συντρέχουσιν, τουτέστιν ἡ ἑκούσιος πρᾶξις καὶ τὸ ἄτακτον, ὅπερ ἐστὶν ἀποχώ-

22 Iac. 4, 17

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρησις τοῦ θείου νόμου· ὧν θάτερον μὲν καθ' αὑτὸ παραβάλλεται πρὸς τὸν ἁμαρτάνοντα, ὃς σκοπεῖ τὴν τοιάνδε ὕλην ἐν τῇ τοιᾷδε ὕλῃ ἀποπληρῶσαι· ἡ δὲ ἀταξία κατὰ συμβεβηκὸς ἔχει πρὸς τὸν τοῦ ἁμαρτάνοντος σκοπόν· οὐδεὶς γὰρ τὸ κακὸν σκοπῶν ἐνεργεῖ, ὥς φησι Διονύσιος· ἕκαστον δὲ τοῦ εἴδους τυγχάνει διὰ τὸ καθ' αὑτό, ἀλλ' οὐ διὰ τὸ κατὰ συμβεβηκός· ἔξω γὰρ τοῦ λόγου τοῦ εἴδους τὰ κατὰ συμβεβηκός· καὶ διὰ τοῦτο τὰ ἁμαρτήματα εἴδει διακρίνονται κατὰ τὰς ἑκουσίους ἐνεργείας μᾶλλον ἢ κατὰ τὸ ἄτακτον τοῦ ἐν τῇ ἁμαρτίᾳ ὄντος· αἱ δὲ ἑκούσιαι ἐνέργειαι εἴδει διακρίνονται κατὰ τὰ ἀντικείμενα, ὡς ἐν τοῖς ἀνωτέρω εἴρηται.

2. Δεύτερον, ὅτι τὰ ψυχικὰ ἁμαρτήματα διακρίνονται τῶν σαρκικῶν· ὡς γὰρ εἴρηται, τὰ ἁμαρτήματα δέχονται τὰ εἴδη ἐκ τῶν ἀντικειμένων· πᾶν δὲ ἁμάρτημα συνίσταται ἐν ὀρέξει τινὸς μεταβλητοῦ ἀγαθοῦ, οὗ ἀτάκτως ὀρεγόμεθα, καὶ ἀκολούθως τοῦτο λαβόντες, ἐν τούτῳ ἡδόμεθα. Διπλῆ δέ ἐστιν ἡ ἡδονή· μία μὲν ψυχική, ἐν μόνῃ ἐπινοίᾳ τινὸς πράγματος ἐπιθυμίᾳ ἐχομένου, καὶ ταύτην δυνατὸν λέγειν ἡδονὴν πνευματικήν· ἄλλη δὲ σωματικὴ ἢ φυσική, ἥτις ἐν αὐτῇ τῇ σωματικῇ ἁφῇ τελειοῦται, ἣν
f. 131ᵛ δυνατὸν λέγεσθαι σαρκικὴν ἡδονήν. | Οὕτω τοίνυν τὰ ἐν ἑκατέρᾳ ἡδονῇ τελειούμενα ἁμαρτήματα ἀπ' αὐτῆς προσαγορεύονται, ὥσπερ ἡ γαστριμαργία, ἐν τῇ τῶν σιτίων ἡδονῇ τελειουμένη, σαρκικόν ἐστιν ἁμάρτημα, καὶ ἡ ὑπερηφανία ἐν τῇ ἡδονῇ τῆς ἀτάκτου ὑπεροχῆς, πνευματικόν.

3. Τρίτον, ὅτι οὐ διακρίνονται τὰ ἁμαρτήματα εἴδει κατὰ τὰ αἴτια· φανερὸν γάρ ἐστιν, ὅτι αἱ τῶν πραγμάτων οὐσίαι κατὰ τὴν ὕλην καὶ τὸ εἶδος διακρίνονται, διότι ἡ ὑλικὴ καὶ εἰδικὴ αἰτία εἰς τὴν τοῦ πράγματος οὐσίαν ὁρῶσιν· αἱ δὲ κινήσεις καὶ αἱ ἐνέργειαι κατὰ τὸ ποιοῦν καὶ τὸ τέλος διαιροῦνται, διότι τὸ ποιοῦν καὶ τὸ τέλος ἰδίως εἰς ταύτας ἀφορῶσιν, διαφόρως μέντοι· αἱ μὲν γὰρ ποιητικαὶ φυσικαὶ ἀρχαὶ πρὸς τὰς αὐτάς εἰσιν ὡρισμένως ἀεὶ ἐνεργείας, καὶ διὰ τοῦτο τὰ διάφορα εἴδη ἐν ταῖς φυσικαῖς ἐνεργείαις οὐ κατὰ τὰ ἀντικείμενα μόνον λαμβάνονται, ἅ εἰσι τέλη ἢ ὅροι, ἀλλὰ καὶ κατὰ τὰς ποιητικὰς ἀρχάς, ὥσπερ τὸ θερμαίνειν καὶ ψύχειν διακρίνονται εἴδει κατὰ τὸ θερμὸν καὶ ψυχρόν. Αἱ δὲ ποιητικαὶ ἀρχαὶ ἐν ταῖς ἑκουσίοις ἐνεργείαις, οἷαί εἰσιν αἱ τῶν ἁμαρτημάτων ἐνέργειαι οὐκ ἐξ ἀνάγκης εἰσὶ πρὸς ἕν, καὶ διὰ τοῦτο ἐκ μιᾶς ἀρχῆς ποιητικῆς ἢ κινητικῆς προΐασι διάφορα εἴδη ἁμαρτημάτων, ὥσπερ ἀπὸ τοῦ κακῶς ταπεινοῦντος φόβου δύναται προϊέναι τὸ τὸν ἄνθρωπον κλέπτειν, ἢ φονεύειν, ἢ καταλιμπάνειν τὴν παρατεθεῖσαν αὐτῷ ποίμνην· τὰ αὐτὰ δὲ καὶ ἐκ τοῦ ἔρωτος. Ὅθεν τὰ ἁμαρτήματα οὐ διαφέρουσιν εἴδει κατὰ τὰς ποιητικὰς αἰτίας, ἀλλὰ μόνον κατὰ τὴν διαφορὰν τῆς τελικῆς αἰτίας.

4. Τέταρτον, ὅτι οἰκείως διαιρεῖται τὰ ἁμαρτήματα εἰς τὸ πρὸς τὸν

38 *εἰς τὸ* sic A

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

θεόν, πρὸς τὸν πλησίον καὶ ἑαυτόν. Εἰ γὰρ καὶ τὸ ἁμαρτάνειν εἰς τὸν θεόν, καθόσον ἡ πρὸς τὸν Θεὸν τάξις περιέχει πᾶσαν τάξιν, κοινόν ἐστι παντὶ ἁμαρτήματι, καὶ διὰ τοῦτο οὐκ ἂν ἔδοξεν εἶναι μέρος, ἀλλὰ κατ' ἐκεῖνο ᾧπερ ἡ θεία τάξις ὑπερβαίνει τὰς ἄλλας δύο τάξεις, τὸ εἰς Θεὸν ἁμάρτημα ἴδιον ἁμαρτήματος γένος ἐστίν.

5. Πέμπτον, ὅτι ἡ κατὰ τὴν ἐνοχὴν διαίρεσις τῶν ἁμαρτημάτων οὐ f. 132 ποιεῖ διάφορα εἴδη ἁμαρτημάτων. Διπλῆ γάρ ἐστιν ἡ ἀταξία· μία μὲν κατὰ ἀναίρεσιν τῆς ἀρχῆς τῆς τάξεως· ἄλλη δὲ τό, σῳζομένης τῆς ἀρχῆς τῆς τάξεως, τὴν ἀταξίαν συμβαίνειν περὶ τὰ μετὰ τὴν ἀρχήν, ὥσπερ ἐν τῷ τοῦ ζῴου σώματι ποτὲ μὲν ἡ τῆς κράσεως ἀταξία πρόεισι μέχρι καὶ τοῦ φθαρῆναι τὴν ζωτικὴν ἀρχήν, καὶ τοῦτό ἐστι θάνατος· ποτὲ δέ, τῆς ζωτικῆς ἀρχῆς σῳζομένης, γίνεται ἀταξία τις περὶ τοὺς χυμούς, καὶ τότ' ἔστι νόσος. Ἀρχὴ δὲ τῆς ὅλης τάξεως ἐν τοῖς ἠθικοῖς τὸ ἔσχατον τέλος ἐστίν, ὅπερ οὕτως ἐστὶν ἐν τοῖς πρακτικοῖς ὡς ἡ ἀναπόδεικτος ἀρχὴ ἐν τοῖς θεωρητοῖς, ὡς λέγεται ἐν τῷ ἑβδόμῳ τῶν ἠθικῶν. Ὅθεν, ὅταν ἡ ψυχὴ μέχρι τοσούτου διὰ τῆς ἁμαρτίας ἀτακτῇ ὥστε καὶ τοῦ ἐσχάτου τέλους ἀποστραφῆναι, τουτέστι τοῦ Θεοῦ, ᾧ ζῶμεν δι' ἀγάπης, τότε τὸ θανάσιμον ἁμάρτημα γίνεται· ὅταν δὲ ἡ ἀταξία συμβαίνῃ μὴ περὶ τὴν ἀπὸ τοῦ Θεοῦ ἀποστροφήν, τότε συμβαίνει τὸ συγγνωστὸν ἁμάρτημα. Οὕτω γὰρ καὶ ἐν τοῖς σωματικοῖς ἡ μὲν τοῦ θανάτου ἀταξία, ἥ ἐστι κατὰ ἀναίρεσιν τῆς ζωτικῆς ἀρχῆς, ἀδιόρθωτός ἐστι κατὰ φύσιν· ἡ δὲ τῆς νόσου ἀταξία δύναται ἐπιδιορθωθῆναι διὰ τῆς ἔτι σῳζομένης ἀρχῆς ζωτικῆς. Τὸ δ' ὅμοιόν ἐστι καὶ ἐπὶ τῶν τῆς ψυχῆς. Καὶ γὰρ καὶ ἐν τοῖς θεωρητικοῖς τὸν μὲν περὶ τὰς ἀρχὰς πλανώμενον οὐκ ἔστι πεῖσαι· τὸν δὲ σῳζομένων τῶν ἀρχῶν ἀγνοοῦντα δυνατὸν δι' αὐτῶν τῶν ἀρχῶν ἐπανακαλέσασθαι. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν πρακτικῶν, ὁ τῷ ἁμαρτάνειν ἀποστρεφόμενος τοῦ ἐσχάτου τέλους, ὅσον κατὰ τὴν τοῦ ἁμαρτήματος φύσιν ἀνεπιδιόρθωτόν ἐστι τὸ τούτου ἁμάρτημα, καὶ διὰ τοῦτο λέγεται πρὸς θάνατον ἁμαρτάνειν, καὶ αἰωνίως ἐστὶ κολαστέος. Ὁ δὲ μὴ περὶ τὴν ἐκ Θεοῦ ἀποστροφὴν ἁμαρτάνων ἐξ αὐτοῦ τοῦ λόγου τῆς ἁμαρτίας ἐπιδιόρθωσιν ἂν δέξαιτο περὶ τὴν ἁμαρτίαν διὰ τὸ σῴζεσθαι τὴν ἀρχήν, καὶ διὰ τοῦτο | λέγεται συγγνώστως ἁμαρτάνειν. f. 132ᵛ

6. Ἕκτον, ὅτι τὸ τῆς ἀμελείας καὶ τῆς πράξεως ἁμάρτημα οὐ διαφέρει κατ' εἶδος· ὁ γὰρ φιλάργυρος καὶ τὰ ἀλλότρια ἁρπάζει, ὅπερ ἐστὶν ἁμαρτία κατὰ τὴν πρᾶξιν, καὶ ἐκ τῶν ἰδίων οὐ δίδωσιν οἷς δοῦναι δεῖ, ὅπερ ἐστὶν ἀμελείας ἁμάρτημα· ὥσπερ εἰς τὸ αὐτὸ εἶδος τοῦ φόνου ἀνήκει ἄγχειν, κατάσσειν, σφάττειν, εἰ καὶ αἱ πρὸς ταῦτα ἐνέργειαι εἴδει διαφέρουσι κατὰ τὸ τῆς φύσεως εἶδος, τουτέστιν ὑλικῶς λαμβανόμεναι, οὐ κατὰ τὴν πρὸς τὸ τέλος τάξιν. Καὶ ὁ γαστρίμαργος γὰρ πρὸς τὸ ἐμπιπλᾶν τὴν γαστέρα τάττει τό τε τῶν ἀναγκαίων πλέον ἐσθίειν καὶ τὰς νηστείας τὰς ὡρισμένας παραλιμπάνειν· καὶ ὁ φιλάργυρος εἰς ἕν, ὡς εἴρηται, τὸ συναγάγειν χρήματα,

ΙΩΑΝΝΙΝΑ 2006